| | | |
|---|---|---|
| A | | «Ἐγώ, παρθένε, μείζων εἰμὶ Δάφνιδος, |
| B | | καὶ ἐγὼ μὲν βουκόλος, ὁ δ' αἰπόλος· τοσοῦτον ἐγὼ κρείττων ὅσον αἰγῶν βόες· |
| C | | καὶ λευκός εἰμι ὡς γάλα, καὶ πυρρὸς ὡς θέρος μέλλον ἀμᾶσθαι, |
| D | | καὶ ἔθρεψε μήτηρ, οὐ θηρίον. |
| E | | Οὗτος δέ ἐστι μικρὸς καὶ ἀγένειος ὡς γυνή, καὶ μέλας ὡς λύκος· |
| F | | νέμει δὲ τράγους, ὀδωδὼς ἀπ' αὐτῶν δεινόν, |
| G | | καὶ ἔστι πένης ὡς μηδὲ κύνα τρέφειν. |
| H | | Εἰ δέ, ὡς λέγουσι, καὶ αἲξ αὐτῷ γάλα δέδωκεν, οὐδὲν ἐρίφων διαφέρει.» |
| | Ταῦτα καὶ τοιαῦτα ὁ Δόρκων καὶ μετὰ ταῦτα ὁ Δάφνις· | |
| H | | «Ἐμὲ αἲξ ἀνέθρεψεν ὥσπερ τὸν Δία· |
| A/B | | νέμω δὲ τράγους τῶν τούτου βοῶν μείζονας· |
| F | | ὄζω δὲ οὐδὲν ἀπ' αὐτῶν, ὅτι μηδὲ ὁ Πάν, καίτοι γε ὢν τὸ πλέον τράγος. |
| G | | Ἀρκεῖ δέ μοι ὁ τυρὸς καὶ ἄρτος ὀβελίας καὶ οἶνος λευκός, ὅσα ἀγροίκων πλουσίων κτήματα. |
| E | | Ἀγένειός εἰμι, καὶ γὰρ ὁ Διόνυσος· μέλας, καὶ γὰρ ὁ ὑάκινθος· |
| B | | ἀλλὰ κρείττων καὶ ὁ Διόνυσος Σατύρων καὶ ὁ ὑάκινθος κρίνων. |
| C | | Οὗτος δὲ καὶ πυρρὸς ὡς ἀλώπηξ καὶ προγένειος ὡς τράγος καὶ λευκὸς ὡς ἐξ ἄστεος γυνή· κἂν δέῃ σε φιλεῖν, ἐμοῦ μὲν φιλεῖς τὸ στόμα, τούτου δὲ τὰς ἐπὶ τοῦ γενείου τρίχας. |
| H | | Μέμνησο δέ, ὦ παρθένε, ὅτι καὶ σὲ ποίμνιον ἔθρεψεν, ἀλλὰ καὶ εἶ καλή. |